**ἄτακτον, ποίημα μετρικόν**

Hephaest. 59. 11 sqq. <καὶ τὰ μέν (*scil.* τῶν ποιημάτων) ἐστι> κατὰ σχέσιν, τὰ δὲ ἀπολελυμένα, τὰ δὲ ἐξ ὁμοίων, τὰ δὲ μετρικὰ ἄτακτα, τὰ δὲ μικτά, τὰ δὲ κοινά … 21 sqq. μετρικὰ δὲ ἄτακτα, ὅσα ἐκ μέτρων μὲν ὁμολογουμένων συνέστηκε, τάξιν δὲ καὶ ἀνακύκλησιν οὐκ ἔχει, οὔτε κατὰ στίχον οὔτε συστηματικά· οἷός ἐστιν ὁ Μαργίτης ὁ εἰς Ὅμηρον ἀναφερόμενος, ἐν ᾧ παρέσπαρται τοῖς ἔπεσιν ἰαμβικά, καὶ ταῦτα οὐ κατ᾽ ἴσον σύστημα. τοιοῦτόν ἐστι καὶ τὸ σιμωνίδειον ἐπίγραμμα· (EG 52 Page)

Ἴσθμια δίς, Νεμέᾳ δίς, Ὀλυμπίᾳ ἐστεφανώθην,
οὐ πλάτεϊ νικῶν σώματος, ἀλλὰ τέχνᾳ,
Ἀριστόδαμος Θράσυος Ἀλεῖος πάλᾳ.

Hephaest. 65. 3 sqq. μετρικὰ δὲ (*scil.* τὰ ποιήματα) ἄτακτά ἐστιν, ἅπερ μέτρῳ μὲν γέγραπταί τινι, οὔτε δὲ ὁμοιότητα ἔχει πρὸς ἄλληλα οὔτε ἀνακύκλησιν, οἷόν ἐστι τὸ τοῦ Σιμωνίδου ἐπίγραμμα· (EG 52 Page)

Ἴσθμια δίς, Νεμέᾳ δίς, Ὀλυμπίᾳ ἐστεφανώθην,
οὐ πλάτεϊ νικῶν σώματος, ἀλλὰ τέχνᾳ,
Ἀριστόδαμος Θράσυος Ἀλεῖος πάλᾳ.

τοιοῦτός ἐστι καὶ ὁ Μαργίτης Ὁμήρου· οὐ γὰρ τεταγμένῳ ἀριθμῷ ἐπῶν τὸ ἰαμβικὸν ἐπιφέρεται.

Tzetz. *de metr. Pind.* 16. 5 sqq.

ἅπερ δὲ (*scil.* ποιήματα) μέτρῳ γέγραπται τινὶ οὐ τεταγμένῳ,
οὐκ ἀνακύκλησιν τινὰ οὔμενουν κεκτημένα,
οὐχ ὁμοιότητα τινὰ πρὸς ἄλληλά τε σχόντα,
καὶ μετρικὰ καὶ ἄτακτα καλοῦνται παρὰ πᾶσιν·
ὡς ἔταξεν ὁ ποιητὴς ἐν τῷ αὐτοῦ Μαργείτῃ,
ἐν ᾧ τοῖς ἔπεσί τινα ἰαμβικὰ τελοῦσιν,
ἀλλ᾽ οὐ κατ᾽ ἶσον σύστημα, οὐ μετὰ τόσους στίχους,
ἀλλ᾽ ἔστιν οὗ μετὰ δέκα, ἔστιν οὗ μετὰ πέντε,
καὶ μετὰ ἕξ, καὶ μεθ᾽ ἑπτά, ἐπῶν μετ᾽ ὀγδοάδα.

Anon. *de metr.* 355. 4 sqq. παρέπεται τοῖς μέτροις ἑπτά, κατὰ ποιὸν καὶ κατὰ ποσόν. καὶ κατὰ μὲν ποιότητα δ΄· γένος, εἶδος, σύνταξις, τομή· κατὰ δὲ ποσότητα τρία· μέγεθος, σχέσις, ἀπόθεσις ... 15 sq. σχέσις δὲ ὡς ὅταν τὰ μὲν ᾖ τεταγμένα, τὰ δ᾽ ἄτακτα.

Schol. in Aesch. *Prom.* 561 (p. 44 Smyth) ἡμέτερον † τίς γῆ, τί γένος] τὰ τοιαῦτα εἴδη καλεῖται μονοστροφικά, μονοστροφικὰ δέ εἰσιν, ὡς Ἡφαιστίων φησίν (p. 60. 21 sq.), ὁπόσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται· καλεῖται δὲ καὶ μετρικὰ ἄτακτα, διότι μέτρῳ μὲν γέγραπται, οὔτε δὲ ὁμοιότητα ἔχει πρὸς ἄλληλα οὔτε ἀνακύκλησιν. εἰσὶ δὲ τὰ παρόντα καὶ συστηματικὰ κατὰ περιορισμοὺς ἀνίσους· οἶμαι δὲ ὅτι διὰ τὸ παράφορον τῆς Ἰοῦς καὶ τὸ τῆς φρενὸς ἄστατον, διαφόροις μέτροις ἐχρήσατο καὶ ἀνίσοις κώλοις. εἰσὶν οὖν τῆς παρούσης στροφῆς πάντα τὰ κῶλα λβʹ.

Schol. in Aesch. *sept.* 78-150b (II 2, p. 49. 33 sqq. Smith) ἡμέτερον + θρεῦμαι φοβερά] τὰ παρόντα εἴδη ἑτέρως εἰσὶν ἐσχηματισμένα. τὰ μὲν γάρ εἰσι

μονοστροφικὰ καὶ μετρικὰ ἄτακτα καὶ συστηματικὰ ἐξ ἀνομοίων κατὰ περιορισμοὺς ἀνίσους, τὰ δὲ κατὰ σχέσιν. εἰσὶ δὲ κατὰ σχέσιν δύο στροφῶν. τοῦ τοιούτου ἐστὶ σχήματος καὶ ἐν Ἀγαμέμνονι ὀνομαζομένῳ δράματι τοῦ παρόντος ποιητοῦ τό· (v. 40 sqq.)

δέκατον μὲν ἔτος τόδ᾽ ἐπεὶ Πριάμου μέγας ἀντίδικος
Μενέλαος ἄναξ

καὶ τό·

Τελαμώνιε παῖ τῆς ἀμφιρύτου
Σαλαμῖνος

ἐν Αἴαντι Σοφοκλέους (v. 134 sq.) καὶ ἐν Φοινίσσαις Εὐριπίδου τό· (v. 202)

Τύριον οἶδμα λιποῦσα.

χρῶνται δὲ τῷ τοιούτῳ σχηματισμῷ οἱ ποιηταὶ ὅτε διηγηματικὸν ποιοῦσι τὸν λόγον T.

Schol. Byz. in Soph. *Oed. tyr.* 151 (p. 269. 6 sqq. Longo) ὦ Διός] τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται μονοστροφικά. μονοστροφικὰ δέ ἐστιν, ὡς Ἡφαιστίων (p. 66. 21 sqq.) φησίν, ὁπόσα ἀπὸ μιᾶς στροφῆς καταμετρεῖται, καθάπερ τὰ Ἀλκαίου καὶ τὰ Σαπφοῦς καὶ τὰ Ἀνακρέοντος. καλεῖται δὲ καὶ μετρικὰ ἄτακτα, διότι μέτρῳ μὲν γέγραπται, οὔτε δὲ ὁμοιότητα ἔχει πρὸς ἄλληλα οὔτε ἀνακύκλησιν.

Schol. A in Hephaest. 168. 3 sqq. οὔτε δὲ ὁμοιότητα ἔχει πρὸς ἄλληλα ὥστε στιχήρη γενέσθαι, οὔτε ἀνακύκλησιν ὥστε κατὰ σχέσιν γενέσθαι, ἀλλὰ ἀδιάφορον τὴν τῶν μέτρων ἐξαλλαγήν. οὔτε δὲ [τὰ ἀπολελυμένα], φησίν, ἀνακύκλησιν ἔχει, ἀλλ᾽ αὐτόθεν ἐστὶν ὁμολογούμενα, οἷον τὸ Σιμωνίδου ἐπίγραμμα (EG 52 Page) Ἴσθμια δίς, Νεμέᾳ δίς. δακτυλικὸν γὰρ ἑξάμετρον καὶ ἐλεγεῖον καὶ ἴαμβος, οὔτε κατὰ στίχον καὶ ὅμοια ἀλλήλοις, οὔτε κατὰ σχέσιν ἀνταποδιδόμενα … 11 sq. οὐ γὰρ τεταγμένῳ ἀριθμῷ ἐπῶν] ἀλλ᾽ ἀτάκτως ὅποι ποτὲ τὸ ἄταρτον ἐποίησε μετρικόν.

Schol. B in Hephaest. 263. 13 sqq. τῶν δὲ κατὰ σύστημα γεγραμμένων τὰ μὲν κατὰ σχέσιν, τὰ δὲ ἀπολελυμένα, τὰ δὲ μετρικὰ ἄτακτα, τὰ δὲ ἐξ ὁμοίων, τὰ δὲ μικτὰ συστηματικά. κατὰ σχέσιν μὲν οὖν ἐστι τὸ κατὰ ἀνταπόδοσιν καὶ ἀνακύκλησιν μέτρου, ἀπολελυμένα δὲ γέγραπται καὶ ἄνευ μέτρου ὡρισμένου.

[*C.P.*]